διαφωνοῦντες δὲ οὕτως περὶ τῆς ἑορτῆς, τῆς κοινωνίας μὲν οὐδαμῶς
ἐχωρίζοντο· φιλονεικοτέραν δὲ τὴν ἑορτὴν τῇ διαφωνίᾳ εἰργάζοντο· δι' ἀμ
φότερα τοίνυν ὁρῶν ὁ βασιλεὺς ταραττομένην τὴν ἐκκλησίαν, σύνοδον οἰ
κουμενικὴν συνεκρότει· τοὺς πανταχόθεν ἐπισκόπους διὰ γραμμάτων
εἰς νίκαιαν τῆς βιθυνίας ἀπαντῆσαι παρακαλῶν· παρῆσαν τε ἐκ πολλῶν
ἐπαρχιῶν καὶ πόλεων οἱ ἐπίσκοποι· περὶ ὧν ὁ παμφίλου εὐσέβιος ἐν τῷ
τρίτῳ βιβλίῳ τῶν εἰς τὸν κωνσταντίνου βίον, τάδε κατὰ λέξιν φησί· εὐσέβιος ὁ τ(οῦ) παμφί(λου)
τῶν γοῦν ἐκκλησιῶν ἁπασῶν, αἳ τὴν εὐρώπην ἅπασαν, λιβύην τε καὶ τὴν ἀ
σίαν ἐπλήρουν, ὁμοῦ συνῆκτο τῶν τοῦ θεοῦ λειτουργῶν τὰ ἀκροθίνια· εἷς τε
οἶκος εὐκτήριος, ὥσπερ ἐκ θεοῦ πλατυνόμενος, ἔνδον ἐχώρει κατὰ
τὸ αὐτὸ· σύρους τε καὶ κίλικας· φοίνικάς τε καὶ ἀραβίους καὶ παλαιστινοὺς
καὶ ἐπὶ τούτοις αἰγυπτίους· θηβαίους· λίβυας· τούς τ' ἐκ μέσης τῶν ποταμῶν
ὁρμωμένους· ἤδη δὲ καὶ πέρσης ἐπίσκοπος τῇ συνόδῳ παρῆν· οὐδὲ
σκύθης ἀπελιμπάνετο τῆς χορείας· πόντος τε καὶ ἀσία φρυγία τε καὶ παμ
φυλία τοὺς παρ' αὐτοῖς παρεῖχον ἐκκρίτους· ἀλλὰ καὶ θρᾷκες καὶ μακεδόνες,
ἀχαιοί τε καὶ ἠπειρῶται· τούτων θ' οἱ ἔτι πόρρω οἰκοῦντες ἀπήντων·
αὐτός τε σπανῶν ὁ πάνυ βοώμενος εἷς ἦν τοῖς πολλοῖς ἅμα συνεδρεύων· τῆς δὲ
βασιλευούσης πόλεως, ὁ μὲν προεστὼς διὰ γῆρας ὑστέρει· πρεσβύτεροι δὲ
αὐτοῦ παρόντες, τὴν αὐτοῦ τάξιν ἐπλήρουν· τοιοῦτον μόνος ἐξ αἰῶνος
εἷς βασιλεὺς κωνσταντῖνος χριστῷ στέφανον δεσμῷ συνάψας εἰρήνης,
τῷ αὐτοῦ σωτῆρι, τῆς κατ' ἐχθρῶν καὶ πολεμίων νίκης θεοπρεπὲς ἀνετίθει
χαριστήριον· εἰκόνα χορείας ἀποστολικῆς ταύτην καθ' ἡμᾶς συστησάμενος·
ἐπεὶ κατ' ἐκείνους συνῆχθαι λόγος ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν
οὐρανὸν ἄνδρας εὐλαβεῖς· ἐν οἷς ἐτύγχανον, πάρθοι καὶ μῆδοι καὶ ἐλα
μῖται· καὶ οἱ κατοικοῦντες τὴν μεσοποταμίαν· ἰουδαίαν τε καὶ καππα
δοκίαν· πόντον καὶ τὴν ἀσίαν· φρυγίαν τε καὶ παμφυλίαν· αἴγυπτον
καὶ τὰ μέρη τῆς λιβύης τῆς κατὰ κυρήνην· οἵ τε ἐπιδημοῦντες ῥω
μαῖοι, ἰουδαῖοί τε καὶ προσήλυτοι· κρῆτες καὶ ἄραβες· πλὴν ὅσον ἐκεί
νοις ὑστέρει τὸ μὴ ἐκ θεοῦ λειτουργῶν συνεστάναι τοὺς πάντας· ἐπὶ δὲ
τῆς παρούσης χορείας, ἐπισκόπων μὲν πλῆθος ἦν τριακοσίους ὑπερα
κοντίζον· ἑπομένων δὲ τούτοις πρεσβυτέρων καὶ διακόνων ἀκολούθων
τε πλείστων ὅσων ἑτέρων, οὐδὲ ἦν ἀριθμός· τῶν δὲ τοῦ θεοῦ λειτουργῶν
οἱ μὲν διέπρεπον σοφίας λόγῳ· οἱ δὲ, βίου στερρότητι καὶ καρτερίας
ὑπομονῇ· οἱ δὲ, τῷ μέσῳ τρόπῳ κατεκοσμοῦντο· ἦσαν δὲ τούτων οἱ μὲν,